# TEZAUR LITURGIC

**13 IUNIE**

**ANTONIOS MARKOU**

# SLUJBA SF.CUVIOASE ALEXANDRA MELGUNOVA DE LA DIVEEVO

**ATENA,2022**




# 13η Ἰουνίου

# Ἀκολουθία Ὁσίας ΑΛΕΞΑΝΔΡΑΣ τοῦ Ντιβίγιεβο

## Ποίημα Ἀντωνίου Μάρκου

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Ἀγάθη πρῶτον κληθεῖσα* ἐν τῶ Βαπτίσματι,* ἀγάθη ὄντως, Μῆτερ,* διά βίου ἐφάνης,* Χριστόν ἀκολουθήσασα, τόν Θεόν,* διά κόπων ἀσκήσεως·* διό πλουσίων ἠξίωσαι δωρεῶν* ἐκ τοῦ μόνου Ἐλεή-μονος.

Σύ τά φθειρόμενα κόσμου* πόθῳ παρέδραμες* Ἀγγέλων πολιτεί-ας* ἐκζητήσασα· ὅθεν* ἐν Φλώρου κοινοβίῳ οἰκήσασα, εἰς* ἀρετῆς ὕψος μέγιστον* δι' ἀσκήσεως ἔφθασας· διό νῦν* ἐν τῷ πόλῳ ἐπαγάλλεσαι.

Τάς ἐπικήρους φροντίδας* ὀπίσω θέμενη,* μετά συζύγου πότμον,* ἐσταυρώθης τῷ κόσμῳ,* θεόφρον Ἀλεξάνδρα, καί τοῦ Φωτός* ἐπληρώ-θης τῆς χάριτος·* δι' ἧς καθάρας τό ἔσοπτρον τοῦ νοός* τήν Μητέρα Αὐτοῦ ἑώρακας.

Ἐν τῷ Κιέβῳ ἀσκήσασα,* θεοπόθητε,* ἐν Φλώρου τῷ σεμνείῳ,* ἀνεδείχθης ἐκεῖσε* Μητέρων τῶν Ὁσίων μυσταγωγός* καί τόν Χριστόν ηὐηρέστησας,*

ἀγγελικήν πολιτείαν ἐπί τῆς γῆς* ἑλομένη μετά σώματος.

Δόξα. Ἦχος β΄.

Ὡς ἐπιποθεῖ ἡ ἔλαφος ἐπί τάς πηγάς τῶν ὑδάτων,* ὡς φησί Δαβίδ ὁ Προφητάναξ,* οὕτως σύ ἐπεπόθησας τήν τῆς ζωῆς Πηγήν,* Χριστόν τόν Ζωοδότην,* Ἀλεξάνδρα μακαρία·* διό καί ἔσπευσας ἐν Κιέβῳ* τοῦ πιεῖν ἐκ τῶν ἐκεῖσε πνευματικῶν ὑδάτων,* τῶν πλουσίως ἐκχεομένων ἐκ τῆς θεοσδότου τῶν μοναστῶν Ἀθωνικῆς παραδόσεως·* εἶτα τῆς Θεοτόκου τήν ἐμφάνειαν δεχθεῖσα,* τήν περιώνυμον τοῦ Ντιβίγιεβο Μονήν ἵδρυσας,* ἔνθα ἁγιασθεῖσα,* ἐν μέν τῷ παρόντι βίῳ* μήτηρ πνευματική ἀνεδείχθης* καί εὐσεβείας διδάσκαλος,* μετά πότμον δέ πηγή θαυμάτων καί ἰάσεων.* Ὅθεν ἡμᾶς τούς τιμῶντας τήν μνήμην σου* καί τῇ λάρνακι τῶν σῶν τιμίων λειψάνων κύπτουσι,* ἐκ τῶν τοῦ ἐχθροῦ παγίδων περίσωζε,* θεπειθέσι πρεσβείαις σου, ἀξιάγαστε.

Καί νῦν. Θεοτοκίον.

Τήν πᾶσαν ἐλπίδα μου* εἰς Σέ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπό τήν σκέπην Σου.

Εἰς τόν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαῖρε μήτηρ ἐν γῇ* τῆς θείας Ἀλεξάνδρας,* καλλίγονος Ῥωσία,* ἡ ἀναδειξαμένη* αὐτήν Κυρίῳ πρέσβειραν.

Στ. *Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι καί εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Ἐν Φλώρου τῇ Μονῇ* ἐμπόνως ἐπεδόθης* ἀσκήσεσι ποικίλαις,* δι' ὧν τοῦ Παρακλήτου* τήν χάριν σοί ἐφείλκυσας.

Στ. *Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου καί κατεύθυνε τά διαβή-ματά μου.*

Ἐφάνη τοῦ Φωτός* ἡ Μήτηρ Παναγία* καί ἐνετείλατό σοι* μονήν Αὐτῇ ἱδρῦσαι,* είς δόξαν τῆς Εἰκόνος Της.

Δόξα. Τριαδικόν.

Ὑπέρθεε Τριάς,* Πάτερ, Υἱέ καί Πνεῦμα,* πρεσβείαις τῆς Ὁσίας,* δίδου τοῖς αἰτουμένοις* Σήν χάριν τήν φωτίζουσαν.

Καὶ νῦν. Θεοτοκίον.

Κυρία τοῦ Καζάν,* Ντιβίγιεβο ἡ δόξα,* Ῥωσίας ἡ προστάτις,* δεήσεσι Ἀλεξάνδρας* τόν κόσμον Σου ἐλέησον.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α΄. Τοῦ λίθου σφρα-γισθέντος.

Τῆς Ῥωσίας τό τέκνον,* Ὀρθοδόξων τό καύχημα,* τοῦ Ντιβίγιεβο κλέος,* ἀσκουμένων θησαύρισμα,* τιμῶμεν Ἀλεξάνδραν τήν σεπτήν,* χαρίτων οἱ πλουτοῦντες τῶν αὐτῆς,* κραυγάζοντες πρός Κύριον·*

δόξα τῷ Σέ δοξάσαντι αὐτήν·*
δόξα Σοί τόν αὐτήν θαυμαστώσαντα·*
δόξα Σοί τῷ δωρησαμένῳ αὐτήν ἡμῖν* πρέσβειραν ἀκοίμητον.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου Σοί Παρθένε τό χαῖρε,* σύν τῇ φωνῇ ἐσαρκοῦτο* ὁ τῶν ὅλων Δεσπότης,* ἐν Σοί τῇ ἁγίᾳ κιβωτῷ,* ὡς ἔφη ὁ δίκαιος Δαβίδ·* ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν* βαστάσασα τόν Κτίστην Σου.* Δόξα τῷ ἐνοικήσαντι ἐν Σοί·* δόξα τῷ προελθόντι ἐκ Σοῦ·* δόξα τῷ ἐλευθευρώσαντι ἡμᾶς,* διὰ τοῦ τόκου Σου.

Ἀπόλυσις.

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια, τῶν ἐν Ῥωσίᾳ Ἁγίων β΄ καί τῆς Ὁσίας δ΄.

Τῶν Ἁγίων. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Φωταυγής ὥσπερ ἥλιος* ὑμῶν ἡ μνήμη ἀνέτειλεν,* καταυγάζων ἅπασαν τήν ὑφήλιον* μαρμαρυγαῖς φωτοφόροις τε* καί θείαις ἐλάμψεσι,* Ἀσκηταί, Ὁμολογηταί,* Ἱεράρχαι καί Μάρτυρες,*

πάντες Ὅσιοι* οἱ ἐν Ῥωσίᾳ, οἱ δόξῃ τιμηθέντες* εἰς ἀντίδοσιν ἀγώνων* παρά Κυρίου καί ἀσκήσεων.

Χαῖρε πόλις Θεόδμητε,*τοῦ Χριστοῦ Νύμφη Π άγκαλε,* Ἐκκλη-σία πάντιμε· Σοί γάρ ἥκασι* νῦν οἱ υἱοί τοῦ Νυμφῶνος Σου,* ἐκ πάσης Ῥωσίας τε* καί Ἑώας καί Βορρᾶ, ἀπό Νότου καί Δύσεως* συνε-νούμενοι* ἀρραγῶς, ἱδρυμένοι τῷ θεμέθλῳ* Προφητῶν καί Ἀποστό-λων,* Πάντες Ῥωσίας οἱ Ἅγιοι.

Τῆς Ὁσίας. Ὅμοια.

Ἀλεξάνδρας τήν ἔξοδον*ἐκ τοῦ κόσμου ὑμνήσω μεν,* ταύτης τε τήν εἴσοδον εἰς Βασιλείαν Θεοῦ,* πανηγυρίσωμεν ἄσμασι* πιστοί καί βοήσωμεν·* Σύ ὑπάρχεις ἀληθῶς* ἀσκουμένων ἀγλάϊσμα* καί μοναζουσῶν* στολισμός καί τιμή καί ὡραιότης,* θεία Μῆτερ Ἀλεξάνδρα,* κλεινῆς Ῥωσίας τό καύχημα.

Ῥωσική πᾶσα χαίρεται* γῆ καί θαυμάζει κηρ ύττουσα,* Ἀλεξάν-δρας ἔμφρονος τήν τελείωσιν·* ὁσιακῶς γάρ ἐβίωσεν,* Ἀγγέλων ὁμό-τροπος,* εἰ καί πλοῦτον ἱκανόν* πάλαι κόσμῳ ἐκέκτητο* ὅν ἀντήλ-
λαξεν,*τῇ πτωχείᾳ καί τῇ ταπεινώσει,*μοναστῶν τό ν θεῖον βίον* ἀσπασαμένη ἡ πάνσεμνος.

Τό τοῦ πλούτου ἐφήμερον,* παρόντος κόσμου τό ἀσταθές,*πᾶσαν ἀνθρωπίνης

τε ζωῆς μικρότητα,* ἡ Ἀλεξάνδρα νοήσασα,* τοῦ κόσμου ἐχώρησε* καί τῶν τούτου ἡδονῶν* καί ἐν ἀσκήσει ἐνήθλησε* καί ἐνοίκησε* ἐν κελλίῳ πτωχῷ,ταπεινοτάτην* μον αστῶν ζωήν τήν θείαν* ἀκολουθῆσαι θελήσασα.

Τό Ντιβίγιεβο χαίρεται,* ὅτι κατέχει τά λείψανα,* οὐρανόφρονος Μητρός,* θείᾳ λάρνακι,* πρός ἥν πιστοί νῦν προστρέχουσι* ἐν πίστει καί δάκρυσι,* ταῖς σεπταῖς αὐτῆς λιταῖς* πρός τόν Κτίστην αἰτούμενοι,* ἵνα τύχωσιν* ἐπισκέψεως θείας καί ἐλέους* καί ἀφέσεως,πρεσβείαις* καί ἱκεσίαις τῆς δούλης Του.

Δόξα. Ἦχος πλ. α΄.

Συνδράμωμεν ἀδελφοί,* ἐπί τῇ μνήμῃ τῆς τοῦ Ντιβίγιεβο ἱδρυ-τρίας* καί ὕμνοις αὐτῆς καταστέψωμεν τά εὐωδιάζοντα λείψανα,* χαῖρε βοῶντες τό τοῦ Πνεύματος πόλισμα* καί ναέ ἔμψυχε τοῦ Παντάνακτος Θεοῦ.* Σύ γάρ τόν καύσωνα τῆς ἡμέρας φιλοτίμως ἐβάστασας* καί τόν παγετόν τῆς νυκτός ἐν καρτερίᾳ ὑπέμεινας,* κρουνός φανεῖσα* δωρεῶν τῶν τοῦ Πνεύματος,* ἐπί τοῖς δεομένοις ἱκέταις τοῦ Θεοῦ.* Πρέσβευε οὖν Αὐτῷ,* θειωτάτη Ἀλεξάνδρα,* μετανοίας τήν τρίβον ἡμῖν διδάξαι,* σαῖς ἱκεσίαις καί δεήσεσι.

Καί νῦν. Θεοτοκίον.

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ* τῆς ἀπειρογάμου Νύμφης* εἰκών διεγράφη ποτέ.* Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος,* ἐνθάδε Γαβριήλ ὑπηρέτης τοῦ θαύματος.* Τότε τόν βυθόν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ,* νῦν δέ τόν Χριστόν ἐγέννησεν* ἀσπόρως ἡ Παρθένος.* Ἡ θάλασσα* μετά τήν πάροδον τοῦ Ἰσραήλ* ἔμεινεν ἄβατος.* Ἡ ἄμεμπτος* μετά τήν κύησιν τοῦ Ἐμμανουήλ* ἔμεινεν ἄφθορος.* Ὁ ὢν καί προών* καί φανείς ὡς ἄνθρωπος* Θεὸς, ἐλέησον ἡμᾶς.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον, Ἀναγνώσματα.

Παροιμιῶν τό Ἀνάγνωσμα (Κεφ. λα΄ 10 - 29).

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ’ αὐτῇ ἡ καρδία τοῦ ἀνδρός αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει. Ἐνεργεῖ γάρ τῷ ἀνδρί ἀγαθά πάντα τόν βίον. Μηρυομένη ἔρια καί λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσίν αὐτῆς. Ἐγένετο ὡσεί ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δέ αὕτη τόν βίον. Καί ἀνίσταται ἐκ νυκτῶν καί ἔδωκε βρώματα τῷ οἴκῳ καί ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπό δέ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τήν ὀσφὺν αὐτῆς, ἤρεισε τούς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο, ὅτι καλόν ἐστι τό ἐργάζεσθαι καί οὐκ ἀποσβέννυται ὅλην τήν νύκτα ὁ λύχνος αὐτῆς. Τούς πήχεις αὐτῆς

ἐκτείνει ἐπί τά συμφέροντα, τάς δέ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δέ αὐτῆς διήνοιξε πένητι, καρπόν δέ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνήρ αὐτῆς, ὅταν πού χρονίζῃ· πάντες γάρ οἱ παρ' αὐτῆς ἐνδεδυμένοι βύσσου καί πορφύρας ἑαυτῇ ἐνδύματα. Περί-βλεπτος δέ ἐγένετο ὁ ἀνήρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετά τῶν γερόντων κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε καί ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δέ τοῖς Χαναναίοις. Ἰσχύν καί εὐπρέπειαν ἐνεδύ-σατο καί εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα (Κεφ. γ΄1 - 9).

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς καί εὗρεν αὐτούς ἀξίους Ἑαυτοῦ· ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καί κρατήσουσι λαῶν καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' Αὐτῷ, συνήσουσιν ἀλήθειαν καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καί

ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καί ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα (Κεφ.ε΄15- στ΄3).

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν παρά Ὑψίστου. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ Αὐτοῦ σκεπάσει αὐτούς καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τόν ζῆλον Αὐτοῦ καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιο-σύνην καί περιθήσεται κόρυθα, κρῖσιν ἀνυπόκριτον˙ λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα˙ ὀξυνεῖ δέ ἀπότομον ὀργήν εἰς ῥομφαίαν˙ συνεκπολεμήσει δέ Αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καί ὡς ἀπό εὐκύκλου τόξου τῶν νεφῶν, ἐπί σκοπὸν ἁλοῦνται καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι˙ ἀγανακτήσει κατ’ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καί ὡς λαίλαψ ἐκλικμή-σει αὐτούς καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καί σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν˙ ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν καί ἡ δυναστεία παρά Ὑψίστου.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Ἁγιοτόκου πατρίδος,*τῆς κατά βορρᾶν Θηβαΐδ ος,* τῆς Ῥωσι-κῆς γῆς θεῖον βλάστημα,* Ὁσία Ἀλεξάνδρα,* τυγχάνεις καί καύχημα.* Ἐν τῷ κόσμῳ γάρ,* μετά συζύγου πότμον,* μήτηρ ἀνεδείχθης χηρῶν καί ὀρφανῶν* καί πτωχῶν προστάτις,* δι᾽ ἔργων εὐποιΐας καί τῇ τοῦ χαρα-κτῆρος σεμνότητι.* Ὅθεν χαίρει ἐπί σοί* ὁ τῶν Ἐλεημόνων Ἁγίων χορός,* σύν ἐκείνῳ τῶν Ὁσίων,*εἰς ὧν τήν χορείαν κατετά γης,* μονα-χικόν βίον ἐνθέρμως ἀσπασαμένη* καί ὁσιακῶς τ ό ζεῖν ἐκμετρή-σασα.

Ἦχος β΄.

Ἀγάλλου ἐν Κυρίῳ* καί τέρπου Ῥωσία ἅπασα, * Ἀλεξάνδραν τήν τοῦ Ντιβίγιεβο* ὡς θησαυρόν πλουτοῦσα.* Ἐν σοί γάρ ἠγω-νίσατο,* πρῶτον μέν ἐν τῷ κόσμῳ* ὡς φιλάνθρωπος τῶν δεομένων μήτηρ,* εἶτα δέ ἐν τῷ τῆς ἀσκήσεως σταδίῳ,* ὡς ταπεινωτάτη μονά-στρια.* Διό πλουσίαν τήν δωρεάν* παρά Χριστοῦ ἔλαβεν,* τοῦ ἰᾶσθαι τούς ἀσθενοῦντας,* τούς τῇ λάρνακι* τ ῶν αὐτῆς Λειψάνων προστρέ-χοντας.* Αὐτήν οὖν κυκλοῦσα,* τῷ Σωτῆρι ἔνδακρυς βόησον·*

δόξα Σοι Κύριε,*ὁ πρεσβείαις τῆς Ὁσίας* λυτρωσ άμενος τόν λαόν Σου,* τόν ὑπ' ἀθέων τυραννούμενον.

Ἦχος γ'.

Οὐράνιοι Ἄγγελοι σήμερον,*σύν πᾶσι τοῖς Ἁγί οις,*μετά τῆς ἐπί γῆς Ἐκκλησίας συνεφραίνονται,* τούς σούς ἀσκητικούς τιμῶντες ἀγῶνας, Ἀλεξάνδρα οὐρανοπόθητε.* Ὄντως πολύαθλόν σου τό σῶμα,* εἰ καί μαρτυρίου στίγματα οὐ φέρει·*διό εὐωδίᾳ ἐ βράβευσεν αὐτό ὁΚύριος* καί θαυμάτων πηγήν* τοῦτο ἀνέδειξεν,*πᾶσαν δαιμονικήν* ἀπελαῦνον ἐνέ ργειαν.* Ἀξιοχρέως οὖν βοῶμεν σοι·* μέμνησο Μῆτερ καλλίτεκνε,* τῶν τιμώντων τήν μνήμην σου* τήν ἀξιοσέβαστον.

Δόξα. Ἦχος πλ. α'.

Σήμερον συγκαλεῖται ἡμᾶς,*Ἀλεξάνδρας τῆς Ῥ ωσίδος* ἡ ἑνιαύ-
σιος πανήγυρις.*Δεῦτε οὖν φιλέορτοι πιστοί,* φαιδρῶς ἑορτάσωμεν* αὐτῆς τήν μνήμην κράζοντε ς·* χαίροις Μῆτερ,* Ὁσίων καλλονή* καί Ἐλεημόνων καύχημα,* Ντιβίγιεβο ἡ πολιούχος,*Ῥωσίας συμπάσης τό κατ αφύγιον·*Χαίροις Ἀλεξάνδρας τῆς βασιλίσσης ἡ ὁ μώνυμος* καί συγκληρονόμος* τῆς Χριστοῦ Βασιλείας.* Αὐτόν ἱκέτευε,*

πάντας λυτρωθῆναι πειραστηρίων* καί σωθῆναι,* κατά τό μέγα Αὐτοῦ ἔλεος.

Καί νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Μετά Ἀγγέλων τά οὐράνια,*μετά ἀνθρώπων τά ἐπίγεια,* ἐν φωνῇ ἀγαλλιάσεως,* Θεοτόκε, βοῶμεν Σοι·*χαῖρε πύλη τῶν οὐρανῶν πλατυτέρα·* χαῖρε μόνη τῶν γηγενῶν σωτηρία·*χαῖρε, σεμνή Κ εχαρι-τωμένη,* ἡ τεκοῦσα Θεόν σεσαρκωμένον.

Εἰς τό Στίχον. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Μῆτερ Ὁσία ἀπέρριψας* διά τήν ὄντως Ζωήν,* τήν ζωήν τήν πρόσκαιρον,* καταφρονήσασα ἅπαντα,* πλοῦτον καί δόξαν,* τρυ-φῆς ἀπόλαυσιν* καί τήν πλανῶσαν* κόσμου τερπνότητα·* διό προ-σέδραμες* τῷ Κυρίῳ φέρουσα τόν σόν σταυρόν,* Τοῦτον ἀγαπήσασα* ἐκ ψυχῆς, ἀοίδημε.

Στ. *Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι καί εἰσήκουσε τῆς δεήσεώς μου.*

Ἡ βιοτή σου εὐάρεστος,* διό Χριστός ὁ Θεός,* ἐν τῷ κόσμῳ σέ ἐδόξασε,* μετά πότμον ἄφθονον* ἐπιχέων τήν χάριν Του,* ἐπί τοῖς θείοις, Μῆτερ, λειψάνοις σου,* δι' ἧς ποικίλα* θαύματα γίγνονται.* Χαῖρε βοῶμεν νῦν* Σεραφείμ ἐπίγονον σχοῦσα ἐν σῇ* τῇ Μονῇ Ντιβίγιεβο, ἀειμακάριστε.

Στ. *Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου καί κατεύθυνε τά δια-βήματά μου.*

Μῆτερ Ὁσίων ὁ ὅμιλος,* Ἱεραρχῶν ὁ χορός,* ἡ Μαρτύρων ὁμήγυρις,* Πάντων τῶν Ἁγίων τε* οἱ χοροί σέ ἐδέξαντο·*ἐν οὐρανοῖς γάρ Χριστός σέ ἐδ όξασεν* καί ἐπί πάσης γῆς ἐθαυμάστωσεν.* Ὄντως ἱερώτατον* καί ἐπαίνου ἄξιον τό γεγονός,* ὅ τιμῶμεν σήμερον,* σήν ἡμέραν γενέθλιον.

Δόξα. Ἦχος πλ. β'.

Ἐπέφανεν σήμερον ἔαρ σωτήριον* καί ἑορτή χαρμόσυνος,* Ἀλεξάνδρας ἡ μνήμη,* τῆς ἀοιδήμου Ὁσίας τοῦ Θεοῦ.*Αὕτη γάρ καλῶς ἀ γωνισαμένη,*ὁσιακῶς τόν βίον ἐξεμέτρησεν* καί ν ῦν ὡς ἥλιος τηλαυγής,*τάς τῶν θαυμάτων ἀκτίνας ἐκπέμπει,* πᾶσαν πειρα-σμικήν* διαλύουσα σκοτόμαιναν.*Αὐτῇ πιστοί βοή σωμεν·* μή διαλεί-πης, Μῆτερ,* ὑπέρ ἡμῶν ἀεί πρεσβεύειν πρός Κύριον,*ἐν εἰρήνῃ ἡμᾶς ἐκτελέσα ι τόν βίον* καί Παραδείσου τυχεῖν τῆς ἀνέσεως.

Καί νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Θεοτόκε, Σύ εἶ ἡ ἄμπελος ἡ ἀληθινή,* ἡ βλαστήσασα* τόν καρπὸν τῆς ζωῆς·* Σέ ἱκετεύομεν,* πρέσβευε, Δέσποινα,* μετά τῆς Σῆς Ὁσίας καί πάντων τῶν Ἁγίων,* ἐλεηθῆναι τάς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α΄. Τοῦ λίθου σφρα-γισθέντος.

Τῆς Ῥωσίας τό τέκνον,* Ὀρθοδόξων τό καύχημα,* τοῦ Ντιβίγιεβο κλέος,* ἀσκουμένων θησαύρισμα,* τιμῶμεν Ἀλεξάνδραν τήν σεπτήν,* χαρίτων οἱ πλουτοῦντες τῶν αὐτῆς,* κραυγάζοντες πρός Κύριον·* δόξα τῷ Σέ δοξάσαντι αὐτήν·*δόξα Σοί τόν αὐτήν θαυμαστώσαντα·* δόξα Σοί τῷ δωρησαμένῳ αὐτήν ἡμῖν* πρέσβειραν ἀκοίμητον.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου Σοί Παρθένε τό χαῖρε,* σύν τῇ φωνῇ ἐσαρκοῦτο* ὁ τῶν ὅλων Δεσπότης,* ἐν Σοί τῇ ἁγίᾳ κιβωτῷ,* ὡς ἔφη ὁ δίκαιος Δαβίδ·* ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν* βαστάσασα τόν Κτίστην Σου.* Δόξα τῷ ἐνοικήσαντι ἐν Σοί·* δόξα τῷ προελθόντι ἐκ Σοῦ·* δόξα τῷ ἐλευθευρώσαντι ἡμᾶς,* διὰ τοῦ τόκου Σου.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Ὡς τῶν θαυμάτων λαβοῦσα τήν χάριν,* παρά τοῦ πάντων χορη-γοῦ καί δοτῆρος,*

μεγάλα καί θαυμάσια, Μῆτερ, ἐκτελεῖς,* πᾶσι τοῖς προστρέχουσι* πίστει τῇ θείᾳ Μονῇ σου* καί εὐλαβῶς προσψαύουσι* τῶν σῶν λειψάνων τήν θήκην.*Διό δικαίως ἰατρός θαυματουργός* καλεῖσαι, κλέος* τῆς Μονῆς τοῦ Ντιβίγιεβο.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτέ Θεοτόκε,* τοῦ εὐχαρίστως ἀνυμνεῖν ἐκ καρδίας,* τά Σά ἐλέη Δέσποινα οἱ δοῦλοί Σου,* κράζοντες καί λέγοντες·* Παναγία Παρθένε,* πρόφθασον καί λύτρωσαι* ἐξ ἐχθρῶν ἀοράτων* καί ἀναγκῶν καί πάσης ἀπειλῆς·* Σύ γὰρ ὑπάρχεις* ἡμῶν ἡ ἀντίληψις.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τόν τάφον Σου, Σωτήρ.

Ὁ πάντων Βασιλεύς,*ὁ εὐωδίᾳ τιμήσας* σά λείψανα, σεμνή,*οὐρανόθεν μηνύει* τήν σήν ἁγιότητα·* διό πάντες συνέδραμον,* τοῦ ἀσπάσασθαι* χαίροντες ταῦτα καί νόσων* ἀπολύτρωσιν* λαβεῖν, τυχεῖν τε ἐλέους·* διό, Μῆτερ, τιμῶμεν σε.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Μαρία τό σεπτόν* τοῦ Δεσπότου δοχεῖον,* ἀνάστησον ἡμᾶς,* πεπτωκότας εἰς χάος,* δεινῆς ἀπογνώσεως* καί πταισμάτων καί θλίψεων.* Σύ γάρ πέφυκας* ἁμαρτωλῶν σωτηρία*

καί βοήθεια*καί κραταιά προστασία* καί σώζεις τούς δούλους Σου.

Μετά τόν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ᾽. Τήν Σοφίαν καί Λόγον.

Τόν Χριστόν ἀγαπήσασα παντελῶς,* ὑπακούουσα, Μῆτερ, ἀπό ψυχῆς,* ταῖς Τούτου ἐντεύξεσι,* βίον ἅγιον ἤνυσας,* τῶν Ἁγίων ταῖς ἴχνεσι καλῶς ἐφεπόμενη,* Ἀβραάμ ἠξιώθης εἰσελθεῖν ἐν τοῖς κόλποις.* Ὅθεν καί θαυμάτων* δοξασθεῖσα τῷ δώρῳ,* πηγάζεις ἰάματα* καί ἶασαι τούς πάσχοντας,* τούς τῇ Μονῇ σου προστρέχοντας.* Πρέσβευε οὖν Χριστῷ τῷ Θεῷ,*τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι,*τοῖς ἑορτάζουσι πόθῳ* τήν ἁγίαν μνήμην σου.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Τήν ψυχήν μου, Παρθένε, τήν ταπεινήν,* τήν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν,* νῦν ὡς ἀκυβέρνητον* ποντουμένην τῷ κλύδωνι,* ἁμαρτιῶν τῷ φόρτῳ φανεῖσαν ὑπέραντλον* καί εἰς πυθμένα Ἅδου ἐλθεῖν κινδυνεύουσαν,* φθάσον, Θεοτόκε,* τῇ θερμῇ Σου πρεσβείᾳ,* γαλήνην παρέχουσα·* εἰς λιμένα Σου ἔδραμον,* Θεοτόκε βοήθει μοι·*πρέσβευε τῷ Σῷ Υἱῷ καί Θεῷ,* τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι·* Σέ γάρ ἔχω ἐλπίδα* ὁ ἀνάξιος δοῦλος Σου.

Οἱ Ἀναβαθμοί· τό α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου.

Προκείμενον. *Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι καί εἰσήκουσε τῆς δεήσεώς μου.*

Στ. *Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου καί κατεύθυνε τά διαβήματά μου.*

Εὐαγγέλιον ἐκ τοῦ κατά Ματθαῖον (Κεφ. κε΄1-13).

Εἶπεν ὁ Κύριος τήν παραβολήν ταύτην. Ὁμοιώθη ἡ Βασιλεία τῶν Οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τάς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δέ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καί αἱ πέντε μωραί. Αἵτινες μωραί λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον· αἱ δέ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν, μετά τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δέ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καί ἐκάθευδον. Μέσης δέ νυκτός κραυγή γέγονεν· ἰδού ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καί ἐκόσμησαν τάς λαμπάδας αὐτῶν. Αἱ δέ μωραί ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δέ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσει ἡμῖν καί ὑμῖν· πορεύεσθε δέ μᾶλλον πρός τούς πωλοῦντας καί ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δέ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καί αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τούς γάμους καί ἐκλείσθη ἡ θύρα. Ὕστερον δέ ἔρχονται καί αἱ λοιπαί

παρθένοι λέγουσαι· κύριε, κύριε, ἄνοιξον ἡμῖν. Ὁ δέ ἀποκριθείς εἶπεν· ἀμήν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τήν ἡμέραν, οὐδὲ τήν ὥραν ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Ὁ Ν΄(50) Ψαλμός.

Δόξα. Ταῖς τῆς Σῆς Ὁσίας...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου ...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Τά ἐπί γῆς ἀπαρνηθεῖσα τερπνά* τά οὐράνια, Ἀλεξάνδρα, ἐδέξω* παρά Χριστοῦ τοῦ Θεοῦ,* ὡς γέρα τῶν πόνων σου·* ὅτι ἐν καθαρᾷ καρδίᾳ καί ταπεινώσει πολλῇ* ἐπολιτεύθης ὁσίως,* ἐν τῇ ἐρημίᾳ καί ἐν τῇ Μονῇ σου* καί μιμητής τῶν Ἀγγέλων ἐγένου τῶν ἁγίων·* διό Χριστοῦ τῷ θρόνῳ ἐν πόλῳ παρισταμένη* καί τήν Αὐτοῦ λαμπρότητα καθορῶσα,* πρέσβευε δεόμεθα καί ὑπὲρ ἡμῶν* τῶν κηρυττόντων τήν μνήμην σου.

Οἱ Κανόνες· τῆς Θεοτόκου τοῦ Καζάν[1] καί τῆς Ὁσίας.

Ὁ Κανών τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς ἐν τῷ τελευταίῳ Τροπα-ρίῳ ἑκάστης ᾠδῆς· *ΑΝΤΩΝΙΟΥ.*

Ὠδή α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

*Ἀνοίξω τό στόμα μου * καί πληρωθήσεται Πνεύματος * καί λόγον ἐρεύξομαι* τῇ Βασιλίδι Μητρί·* καί ὀφθήσομαι* φαιδρῶς πανηγυρίζων* καί ᾄσω γηθόμενος* ταύτης τά θαύματα.*

Χάριτος τά χείλη μου,* ὅπως ὑμνήσω Σε πλήρωσον,* Καζάν-σκαγια Δέσποινα,* χαῖρε κραυγάζοντος* Σοί τῇ Στρατηγῷ·* τεῖχος γάρ Ὀρθοδόξων,* Ἁγνή, τήν Εἰκόνα Σου* ἡμῖν δεδώρηκας.

Εἰρήνης τό δώρημα* τοῖς Σοῖς ἱκέταις, Καζάνσκαγια,* ἐκ πόθου αἰτούντων Σου* δίδεις, Παρθένε, ἀεί* τοῖς βοῶσί Σοι* τό χαῖρε, Πανα-γία,* πιστῶν τό ὀχύρωμα * καί ἀγαλλίαμα.

Δόξα.

Ῥωσίας ὁ οἶκος Σου* ἐθαυμαστώθη, Ἀκήρατε,* ὅτι τήν Εἰκόνα Σου,* ὦ Θεομῆτορ Ἁγνή,* ἐφανέρωσας* ἐκ τῶν τῆς γῆς λαγόνων* καί ταύτην ἐπέδωκας* ἡμῶν είς φρούρησιν.

Καί νῦν.

Ἀνέτειλας, Δέσποινα,* φῶς εἰρηναῖον τοῖς δούλοις Σου,* ὅτε τήν Εἰκόνα Σου ἐκ γῆς ἀνέτειλας,* κινδυνεύοντας* ἐχθρῶν ἀπ’ ἀλλοτρίων,* αἰτοῦντας τήν λύτρωσιν* τῇ Σῇ δυνάμει, Θεότιμε.

Ὁ Κανὼν τῆς Ὁσίας, οὗ ἡ ἀκροστιχίς· *ΑΛΕΞΑΝΔΡᾼ ΜΗΤΡ*(Ι) *ΥΜΝΟΣ ΑΔΕΤΑΙ. ΑΝΤΩΝΙΟΥ.*

ᾨδή α΄. Ἦχος καί Εἱρμός ὁ αὐτός.

Ἀόρατε Κύριε* καί Βασιλεῦ πάσης κτίσεως,* Θεέ Πολυέλεε,* τῶν ἀγαθῶν χορηγέ,* ὁ δωρούμενος* γνῶσιν ἡμῖν τοῖς ἀσόφοις,* τόν νοῦν μου καταύγασον* τῇ εὐσπλαχνίᾳ Σου.

Λυτήριον πρόκειται* τῶν σῶν λειψάνων ἡ πάντιμος* θήκη ἐν Ντιβίγιεβῳ* τῶν δεομένων, σεμνή,* τῆς ἰάσεως* ψυχῶν τε καί σωμάτων,* ἥν πίστει λαμβάνουσι,* Ἀλεξάνδρα θεότιμε.

Δόξα.

Ἔσχες νίκην νικήσασα,* τῇ δυνάμει τοῦ Πνεύματος,* τοῦ κόσμου τό δέλεαρ* καί τό τοῦ πλούτου, σεμνή·* διό κατέλειπες* ἐπίκηρον τήν δόξαν,* Ἀγγέλων ζηλώσασα* τόν βίον, ὄλβιε.

Καί νῦν. Θεοτοκίον.

Ξένη ὄντως ἡ πρόρρησις,* ἐπί Σοί Ἀειπάρθενε,* θαυμασίως πεπλήρωται·* ὅθεν τιμῶμεν πιστοί,* Σέ τήν κυήσασαν* Υἱόν Πατρός εὐδοκίᾳ,* ὅτε Πνεῦμα Ἅγιον* ἐν Σοί ἐσκήνωσεν.

Ὠδὴ γ΄. Τῆς Θεοτόκου. Ὁ Εἱρμός.

*Τοὺς Σοὺς ὑμνολόγους Θεοτόκε,* ἡ ζῶσα καί ἄφθονος πηγή,* θίασον συγκροτήσαντας* πνευματικόν, στερέωσον* καί ἐν τῇ θείᾳ δόξῃ σου* στεφάνων δόξης ἀξίωσον.*

Εἰρήνην ἐξ ὕψους, Θεοτόκε,* χαράν τε Υἱοῦ Σου τοῖς πιστοῖς* πηγάζεις, Ἀειπάρθενε,* τοῖς πόθῳ Σοι κραυγάζουσι·* χαῖρε σεπτή Καζάν-σκαγια,* Χριστιανῶν τό προσφύγιον.

Ξενίζει ἡμῶν τάς διανοίας* ἡ χάρις Εἰκόνος Σου σεπτῆς,* πῶς ἄφθαρτος τετήρηται,* ἔνδον τῆς γῆς Καζάνσκαγια,* πολλῶν ἐτῶν ἑλίξε-σι* καί πάλιν κόσμῳ δεδώρηται.

Δόξα.

Πηγὴ πολυχεύμων εὐσπλαγχνίας* ὑπάρχεις Εἰκών Σου ἀληθῶς,* τοῖς πᾶσι ἀναβλύζουσα,* Καζάνσκαγια Πανύμνητε,* τῆς θεϊκῆς χρηστό-τητος* νάματα ὄντως γλυκύρροα.

Καί νῦν.

Νάμασι Σοῖς τοῖς ζωϋρήτοις* τόν νοῦν μου ἀπόπλυνον, Ἁγνή,* καί πλῆσον τήν καρδίαν μου* ὕδατος ζῶντος δέομαι,* Καζάνσκαγια δοξά-ζοντος* τῆς Σῆς εἰκόνος τήν Εὕρεσιν.

Τῆς Ὁσίας. Εἱρμός ὁ αὐτός.

Ἀσμένως συνέρχονται τά πλήθη* ἐνθάδε, ἵνα τό ἱερόν* προσψαῦ-σαι, Μῆτερ, λείψανον* τό παρ' ἡμῖν τηρούμενον* καί πάντες, Μῆτερ, χαίροντες* πόθῳ κυκλοῦσι σήν λάρνακα.

Ναός ἀνεδείχθης Παρακλήτου,* κοσμήσασα ἀρεταῖς σήν βιοτήν,* τήν ἐν τῷ κόσμῳ, πάνσεμνε,* Ντιβίγιεβο ἀγλάϊσμα·* διό εὐωδίας πεπλή- ρωται,* Μῆτερ Ὁσία, σόν λείψανον.

Δόξα.

Δεχόμενοι, Μῆτερ, οἱ ἐν κόσμῳ* προστάτιν σε, στερράν κατα-φυγήν,* τῷδε Ναῷ προστρέχομεν,* τυχεῖν σῆς ἀντιλήψεως,* ἥν καί λαμβάνοντες χαίρομεν.

Καί νῦν. Θεοτοκίον.

Ῥήτορες κἄν σοφοί Σε, Κόρη,* ἐκήρυξαν δεδοξασμένην ἐν τῇ γῇ·* διό τόν ὕμνον πρόσδεξαι,* τόν ταπεινόν καί ἄσημον,* καί τόν συνθέ-σαντα οἴκτηρον* καί μετανοίας ἀξίωσον.

Καθίσματα.

Τῆς Ὁσίας. Ἦχος β΄. Τά ἄνω ζητῶν.

Μητέρα σεπτήν* Ντιβίγιεβο δοξάζομεν,* ἐν πίστει θερμῇ* κύπτο-ντες πρό τῆς λάρνακος* τῆς τῶν

λειψάνων, κράζοντες αὐτῇ,* ἀπό παθῶν Ἀλεξάνδρα ἀπάλλαξον.

Δόξα. Καί νῦν. Τῆς Θεοτόκου. Ὅμοιον.

Καζάν τῇ σεπτῇ* Εἰκόνι νῦν προσπίπτομεν,* οἱ ἐν πόνοις ψυχῆς* καί θλίψεσι ὑπάρχοντες·* κ αί δι’ αὐτῆς αἰτούμεθα* τῆς Θεο-τόκου τό ἄμετρον ἔλεος* καί τήν ταχεῖαν Ταύτης συνδρομήν* καί τήν βεβαίαν Αὐτῆς ἀντίληψιν.

Ὠδὴ δ΄. Τῆς Θεοτόκου. Ὁ Εἱρμός.

*Ὁ καθήμενος ἐν δόξῃ* ἐπί θρόνου Θεότητος,* ἐν νεφέλῃ κούφῃ* ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος,* τῇ ἀκηράτῳ παλάμῃ καί διέσωσε* τούς κραυ-γάζοντας·* δόξα Χριστέ τῇ δυνάμει Σου.*

Ἡ εἰκών Σου ἡ ἁγία* ἱλαστήριον ἔνθεον,* ἐν Καζάν τῇ πόλει* ὤφθη ἀληθῶς, Ἀειπάρθενε·* ἁγιασμὸν γάρ παρέχει καί φῶς ἄνωθεν,* Κόρη Πάναγνε,* εἰς τῶν ψυχῶν ἀνακαίνισιν.

Ἐκ τῆς γῆς τήν Σήν Εἰκόνα* ἐφανέρωσας, Δέσποινα,* τῇ Εὑρέσει ταύτης* εὐφράνασα πιστούς, Παναμώμητε·* διό λαμπρὰν ἑορτήν Σοι πόθῳ ἄγομεν* μεγαλύνοντες* τά παμφαῆ μεγαλεῖα Σου.

Δόξα.

Ἰαμάτων θεῖα ῥεῖθρα* ἡ Εἰκών Σου πηγάζουσα,* τῇ ἐπισκιάσει* τῆς Σῆς ἀγαθότητος, Ἄχραντε,* ἐχθρῶν

ἐξαίρει πάσης περιστάσεως* τούς προσφεύγοντας* πρός Σέ, Μαρία Καζάνσκαγια.

Καί νῦν.

Τεῖχος ἄρρηκτον ὑπάρχεις* Ὀρθοδόξων, Καζάνσκαγια,* Ῥώσων τε καί Ἑλλήνων* καί πάντων ἀσφαλής Σύ ἀκρόπολις,* ἀπό κινδύνων ἐκ Δύσεως ἐξαίρουσα* τούς καλοῦντάς Σε* εἰς βοήθειαν, Ἄχραντε.

Τῆς Ὁσίας. Εἱρμός ὁ αὐτός.

Ἀλεξάνδρα μακαρία* εὐποιΐας οὐκ ἔλαθες·* μήτηρ ὀρφανῶν καί χηρῶν τε* καί τῶν πτωχῶν γάρ ἐνδέδειξαι,* εἰς οὕς οὐσίαν σήν πάσαν ἐχορήγησας* εἰς ἀνάπαυσιν* καί ἀναγκῶν αὐτῶν κάλυψιν.

Μοναστῶν σύ ἀνεδείχθης* κόσμος, κόσμον νικήσασα,* ὅτε μονα-ζόντων πτωχείᾳ,* σκευήν πλουσίαν ἀντήλλαξας* καί οἴκου τερπνοῦ τήν πολυτέλειαν,* τῆς μονῆς τήν πτωχείαν προκρίνασα.

Δόξα.

Ἥλιος ἐφάνης, Μῆτερ,* ἀρετῶν ἐπιδόσεσι,* ταῖς ἀκτῖσι τῶν σῶν ἔργων* πάσας τάς πρός σέ κατεφώτισας* καταφυγούσας γυναῖκας, τάς τήν ἄσκησιν* μιμηθείσας τήν σήν καί τήν ἔφεσιν.

Καί νῦν. Θεοτοκίον.

Τιμήν μέν, ὦ Θεοτόκε,* ὡς Μητρί Σοί προσάγομεν,* Σύ δέ σπεῦσον μεσιτεῦσαι* τῷ Σῷ Υἱῷ ὑπέρ ἄρσεως,* τοῦ βαρυτάτου ζυγοῦ ὅς τὸν τράχηλον* τὸν ἡμῶν βαρύνει, Κόρη,* τῆς ἐμπαθοῦς προαιρέσεως.

ᾨδή ε΄. Τῆς Θεοτόκου. Ὁ Εἱρμός.

*Ἐξέστη τά σύμπαντα* ἐπί τῇ θείᾳ δόξῃ Σου·* Σύ γάρ, Ἀπειρόγαμε Παρθένε,* ἔσχες ἐν μήτρᾳ τόν ἐπί πάντων Θεὸν* καί τέτοκας ἄχρονον Υἱόν* πᾶσι τοῖς ὑμνοῦσί Σε,* σωτηρίαν βραβεύοντα.*

Τοῖς ἀσθενοῦσι ἴασιν,* τυφλώττουσιν ἀνάβλεψιν,* τοῖς χειμαζο-μένοις εὐπλοΐαν* καί αἰχμαλώτοις ταχεῖαν λύτρωσιν,* Μῆτερ πρυτα-νεύεις ἐσαεί,* ἡ ταχέως σπεύδουσα* τοῖς φωνοῦσι τήν κλῆσίν Σου.

Ῥυσθέντες Καζάνσκαγια* ἐν τῇ σεπτῇ Εὑρέσει Σου* ἐκ τοῦ ἀντιδίκου τῆς κακίας,* ὡς σκέπην σωτήριον ἡμῶν* καί τήν μετά Θεόν καταφυγήν,* πόθῳ Σε γεραίρομεν* ἐτησίοις ἐν ᾄσμασι.

Δόξα.

Φυτόν ὡς ἀθάνατον* ἀπό τῆς γῆς ἀνέδειξας* τήν Σήν θαυμαστὴν, Κόρη, Εἰκόνα,* καρποφοροῦσαν ζωήν καί λύτρωσιν* τοῖς νενεκρωμέ-νοις χαλεποῖς* νόσοις τ' ἀρρωστήμασιν* καί ποικίλοις προβλήμασι.

Καί νῦν.

Ὡς ἤκουσεν, Δέσποινα,* Γουρίας ὁ θεσπέσιος,* Ματρώνῃ ἐμφάνι-σιν Σήν θεἰαν,* ἔσπευσε ἐκτελέσαι ἐντολήν* καί ὄρυξεν ὄρυγμα εἰς γῆν,* ἕως εὗρε τήν Εἰκόνα Σου,* σύν Ἑρμογένῃ θεόφρονι.

Τῆς Ὁσίας. Εἱρμός ὁ αὐτός.

Ῥωσία σέ κέκτηται* σκέπην, Μονή σου καί ἅπασα* γῆ ἡ Ῥωσική ὑπερβορεία·* πέφυνας γάρ τούτων στηριγμός,* θαυμάτων ποικίλων πακτωλός,* τῶν καταφευγόντων νῦν* τῇ σῇ Μονῇ καί τῇ λάρνακι.

Ὕμνος θεῖος σοί ἄδεται,* ὑπέρ ἁμαρτίων τῶν τιμώντων νῦν* μνήμην σου τήν ἔνθεον·* ῥᾶνον σαῖς πρεσβείαις ὑετόν,* δρόσον οὐρανῶν, ὡς Ἀερμών,* Ἀλεξάνδρα πάντιμε,* ἐπί τούς πταίοντας δούλους σου.

Δόξα.

Μονή τοῦ Ντιβίγιεβο* σεμνύνεται τῇ δόξῃ σου* καί ἐπί τῶν λειψάνων σου τήν θήκην,* πρός ἥν προστρέχει πιστῶν ὁ ποταμός,* πρός σέ τόν ἀειρρόα ποταμόν* τῶν θαυμάτων, ἔνδοξε,* καί ἀπό παθῶν τῶν ἰάσεων.

Καί νῦν. Θεοτοκίον.

Ναός καί παλάτιον,* τοῦ Βασιλέως ὑπάρχουσα,* Κόρη οὐρανῶν ὑψηλοτέρα,* δέχου τόν ὕμνον,* σκέπε

ἀεί νοητῶς,* ἐμήν ἀθλιω-τάτην βιοτήν,* ἵνα μακαρίζω Σε* καί κηρύττω Σόν ἔλεος.

Ὠδή στ΄. Τῆς Θεοτόκου. Ὁ Εἱρμός.

*Τήν θείαν ταύτην καί πάντιμον* τελοῦντες ἑορτήν οἱ θεόφρονες* τῆς Θεομήτορος,* δεῦτε τάς χεῖρας κροτήσωμεν,* τόν ἐξ Αὐτῆς τεχθέντα* Θεὸν δοξάζοντες.*

Νάμα ζωῆς ἐπουράνιον* καί πόμα εὐφροσύνης ἀείζωον* νέμεις ἑκάστοτε* τοῖς ὡς πηγή τῇ Εἰκόνι Σου* ἐλέους προσιοῦσι,* Σεμνή Καζάνσκαγια.

Ῥωσίας ὤφθης ἡ Ἄνασσα,* Σύ τῶν οὐρανῶν ἡ Βασίλισσα* καί κόσμου σύμπαντος·* διό καί ταύτῃ δεδώρησαι* Σήν Εἰκόνα θείαν* τήν ἀπαστράπτουσαν.

Δόξα.

Ἡ Μόσχα χαίρει καί γάννυται,* Παρθένε, τῇ ἁγίᾳ Εἰκόνι Σου* καί μετά πίστεως* ταύτῃ προστρέχει κραυγάζουσα·* Σύ μου ἐλπίς καί σκέπη,* σεπτή Καζάνσκαγια.

Καί νῦν.

Ναούς τῆς δόξης Κυρίου Σου* ἠνώρθωσας πιστοῖς δεομένοις Σου,* ἐν οἷς τόν κάλλιστον* ἐν Πετρουπόλει, Θεότιμε,* εἰς ὅν Εἰκών ἡ θεία Σου ἐναπόκειται.

Τῆς Ὁσίας. Εἱρμός ὁ αὐτός.

Ὁρῶντες, Μῆτερ, τήν λάρνακα* τήν φέρουσαν σά πάντιμα λείψα-να,* πίστει προσπίπτομεν* αἰτούμενοι πρεσβείαις σου,* Ἀλεξάνδρα, Κυρίου τό ἔλεος.

Σειρά θαυμάτων σου ἔφερεν* Ῥωσίας Ἐκκλησί αν καί ταύτης τε* ἅπαν τό πλήρωμα,* ἐπ᾽ ἐκκλησίαις κηρύξαι σου* τήν ἁγιότητα,* Μῆτερ ἀξιοσέβαστε.

Δόξα.

Ἀρχή τό σέβας ἐκύρωσεν* λαοῦ, τήν εὐσεβῆ διαπίστωσιν* σῆς ἁγιότητος,* ἥν διεκήρυξε σύμπασα* ἡ Ἐκκλησία, Μῆτερ,* λαμπρῶς τιμῶσα σε.

Καί νῦν. Θεοτοκίον.

Δεινῶν παντοίων με λύτρωσαι,* τοῦ θείου φωτισμοῦ κατα-ξίωσον,* δώρησαι ἄφεσιν,* τῷ ἐν πολλοῖς παροργίζονται* τόν Σόν Υἱόν Παρθένε,* ἡμῶν δέ Κύριον.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τῆς Ἀλεξάνδρας οἱ πιστοί τήν μνήμην σήμερον* ᾠδαῖς εὐήχοις καί εὐμόλποις μακαρίσωμεν,* τῆς Μονήν Ντιβίγιεβο ἀνιδρυσαμένης,* ἔνθα ΣάρωφΣεραφείμ αὐτῆς ἐπίγονος* ὀρφανῶν αὐτοῦ τάς

κέλλας ἐποιήσατο·* πρός ἥν εἴπωμεν,* χαίροις Μῆτερ θεόσοφε.

Ὁ Οἶκος.

Ἀστήρ ἀνεφάνης ἐκ Ῥωσίας, θεόφρον Ἀλεξάνδρα,* τοῦ Ντιβίγιεβο κόσμος,* ἡ κόσμον αὐγάσασα·* ἐκεῖθεν γάρ ἀνατείλασα* τόν κόσμον φωτίζεις θαυμάτων σειραῖς* καί πάντας λυτροῦσαι τῶν παθῶν*
καί τῇ πίστει στηρίζεις ἅπαντας.* Ἐν τῷ Κιέβῳ μέν ἀσκήσασα πρῶτον,* ἐν τῷ τοῦ Φλώρου σεμνείῳ,* ἀρετήν κτησαμένη συνέκδημον,* ὡς ἀπό τοῦ Θεοῦ ἠλεημένη ποικίλοις χαρίσμασι,* ἐν Ντιβί̲γιεβῳ εἶτα μοναζούσαις διηκόνη-σας,* παρ' ὧν ἀκούεις·* χαίροις Μῆτερ θεόσοφε.

Συναξάριον.

Τῇ ΙΣΤ' τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ὁσίας Ἀλεξάνδρας, ἱδρυτρίας τῆς ἐν Ῥωσίᾳ Σεραφειμικῆς Μονῆς τοῦ Ντιβίγιεβο (+ 1789).

Στίχοι.

*Ἀγάθης, ὡς ἀγαθῆς, ἡ μνήμη μακαρία,*

*δι' ἔργων ἀγαθῶν· ὡς ἄλλης Ἀλεξάνδρας,*

*Μάρτυρος Βασιλίσσης, δέ, ἡ μαρτυρία μένει.*

Ταῖς αὐτῆς ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ'. Τῆς Θεοτόκου. Ὁ Εἱρμός.

*Οὐκ ἐλάτρευσαν* τῇ κτίσει οἱ θεόφρονες* παρά τόν Κτίσαντα·* ἀλλά πυρός ἀπειλήν* ἀνδρείως πατήσαντες* χαίροντες ἔψαλλον·* Ὑπερύ-μνητε,* ὁ τῶν Πατέρων Κύριος* καί Θεός, εὐλογητὸς εἶ.*

Κόσμου Σώτηρα* ἐδείχθης ἐξαίρουσα* τούς Σοί προστρέχοντας,* Σοί τῇ Μητρί τοῦ Θεοῦ* καί πίστει δοξάζοντας* τά μεγαλεῖα Σου* καί τιμῶντας Σε,* εὐλογημένη Πάναγνε,* ὡς πιστῶν ἐπιστασίαν.

Ἔχει Δέσποινα* Ῥωσία Σου στήριγμα* καί περιτείχισμα,* Μῆτερ Θεοῦ, τήν σεπτήν* καί θείαν Εἰκόνα Σου,* τήν τοῦ Καζάν, ὀχυρόν* ἀκατάβλητον·* διό τό χαῖρε βοᾶ Σοι νῦν,* Κεχαριτωμένη Κόρη.

Δόξα.

Ἰαμάτων Σε* ταμεῖον ἀδαπάνητον,* σεπτή Καζάνσκαγια*, ἐπε-γνωκότες πιστοί,* ἐκ πόθου προστρέχομεν* τῇ ἀντιλήψει Σου* καί λυτρούμεθα* παθῶν ψυχῆς καί σώματος,* κατά χρέος Σὲ ὑμνοῦντες.

Καί νῦν.

Ἴα φέρομεν* ᾠδῶν ᾀσμάτων, Δέσποινα, τά μεγαλεῖα Σου* καί τήν πολλήν πρός ἡμᾶς* ἐν πᾶσιν ἀντίληψιν* ἀναγνωρίζοντες,* χαῖρε Πάνα-γνε,* Ὀρθοδοξίας ἔφορος* ἐκβοῶντες καί προστάτις.

Τῆς Ὁσίας. Εἱρμός ὁ αὐτός.

Εὗρεν ἔρεισμα* Ῥωσία θεοπόθητον* τῆς Ἀλεξάνδρας λάρνακα,* πρός ἥν πάντες μαζιδόν* ἐν πίστει προστρέχουσι, *θερμῶς αἰτούμενοι* καί τυγχάνοντες* τοῦ ποθου μένου ἕκαστος,* τήν Ὁσίαν μακαρίζουσι.

Τήν Ἀλήθειαν,* τήν ὄντως ὑπερέχουσαν,* πιστῶς κατηκολούθη-σας·* διό ζωήν ἀληθῶς * ἐν κόσμῳ ἐβίωσας,* Μῆτερ θεότιμε·* διό ὑμνοῦμε ν σε,* τῶν Ὀρθοδόξων τό σύστημα* καί τήν μνήμην σου τελοῦ-μεν.

Δόξα.

Ἄνω δόξαν σου* κηρύττουν σά θαυμάσια,* τῆς σῆς μακαριότη-τος,* ἥν ἀπολαύεις τά νῦν* ἐν κόλποις ὑπάρχουσα* Πατρός ἡμῶν Ἀβραάμ·* ὅθεν αἴτησον*
τυχεῖν ἡμᾶς τούς ὑμνοῦντας σε* οὐρανῶν κληρονο μίας.

Καί νῦν. Θεοτοκίον.

Ἱερώτατον* Θεοῦ κατοικητήριον,* τερπνόν παλάτιον,* Σύ ὑπάρχεις Μαριάμ,* μή παύῃς δεόμεθα* πρός Σόν Υἱόν καί Θεόν,* ἀναφέρεσθαι* καί ἱκετεύειν, Ἄχραντε,* ἐλεῆσαι τούς Σούς δούλους.

Ὠδή η΄. Τῆς Θεοτόκου. Ὁ Εἱρμός.

*Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ* ὁ τόκος τῆς Θεοτόκου διεσώσατο,* τότε μέν τυπούμενος·* νῦν δέ ἐνεργούμενος* τήν οἰκουμένην ἅπασαν* ἀγείρει ψάλλουσαν·* τόν Κύριον ὑμνεῖτε τά ἔργα* καί ὑπερυψοῦτε* εἰς πάντας τούς αἰῶνας.*

Γνώριμον τοῖς πᾶσι βουληθεῖσα* ποιῆσαι τῆς πρός ἡμᾶς Σου ἀγα-θότητος* πλοῦτον τόν ἀκένωτον,* βρύσιν τήν πολύρρυτον,* τήν ἱεράν Εἰκόνα Σου* καθάπερ ἥλιον* ἀνέδειξας ἀστράπτουσαν κόσμῳ,* αἴγλῃ χαρισμάτων* εἰς φαῦσιν Ὀρθοδόξων.

Ῥῦσαι τῶν σκανδάλων τοῦ βελίαρ* καί πάσης ἐπιφορᾶς καί περι-στάσεως* τούς ἀεί προσπίπτοντας* τῇ σεπτῇ εἰκόνι Σου,* Καζάνσκαγια Πανύμνητε,* καί ἀνακράζοντας·* τόν Κύριον ὑμνεῖτε τά ἔργα* καί ὑπε-ρυψοῦτε* εἰς πάντας τούς αἰῶνας.

Δόξα.

Γουρίου τό αἴτημα πληροῦσα* ἀνέδυσας Εἰκόνα Σου τήν πάνσε-πτον,* Δέσποινα Πανύμνητε,* ἐκ τῆς γῆς ἀστράπτουσαν·* ἐντεῦθεν Σε Καζάνσκαγια* κατεπλουτήσαμεν,* σκέπουσαν ἡμᾶς ὡς υἱούς Σου* καί σώζουσαν, Κόρη,* βελῶν τῶν τοῦ βελίαρ.

Καί νῦν.

Ὅρμος ἀπό πειρατηρίων* καί πάσης ἐπιβουλῆς τοῦ πολεμήτορος* πέλεις, Ἀειπάρθενε,* τοῖς πίστει Σοί προστρέχουσι* τῇ κραταιᾷ πρεσβείᾳ Σου* καί ἐκβοῶσι Σοι·* ὑμνοῦμεν Σε ἀεί Θεοτόκε* καί ὑπερυψοῦμεν* τόν ἄφραστόν Σου Τόκον.

Τῆς Ὁσίας. Εἱρμός ὁ αὐτός.

Ἀλεξάνδρας Μάρτυρος τήν δόξαν,* ἡ ταύτης ὁμώνυμος ἐζήλωσεν,* Ντιβίγιεβο πολίσασα* καί τήν ἐκείνου ἔρημον* καί ταύτην ὅλην ἐξά-παντος βεβαίαν ἔλαβεν·* ὅθεν εὐσήμως γεραίρεται* καί ὑπό πάντων δοξάζεται.

Νέμει κρουνηδόν ἡ Μήτηρ χάριν,*
πᾶσι τοῖς προστρέχουσι αὐτῆς τῷ θείῳ ναῷ,*
τοῖς τε προσεγγίζουσι* αὐτῆς παντίμῳ λάρνακι·*
διό Ῥωσίας κηρύττεται Ἁγίας πρόμαχος,*
ἡμῶν δέ πάντων βοήθεια*
καί θερμοτάτη ἀντίληψις.

Δόξα.

Τόπος προσκυνήματος ἐδείχθη* ἡ λάρναξ ἡ π άντιμος τῆς θειο-τάτης Μητρός* Ἀλεξάνδρας· πάντες νῦν* αὐτῇ προστρέχουσι μετά πίστεως* οἱ τῆς Ῥωσίας οἰκήτορες* καί ἀπό περάτων τῆς ὑφηλίου τε* οἱ τιμῶντες αὐτῆς τῆς τελείωσιν.

Καί νῦν. Θεοτοκίον.

Ὢ Σῆς ὡραιότητος Παρθένε,* ἥ πόθον τόν ἅγιον ἡμῖν διήγει-ρε,*ὑμνεῖν Σε τήν Θεόπαιδα,*τήν μόνην Ἀειπάρθε νον,* δι' Ἧς Χρι-στός ἐπέφανεν* ἡμῖν καί ἐσκήνωσεν·*διό ψάλλομε ν ὑμνοῦντες* τήν ἀκήρατον Αὐτοῦ Μητέρα δεόμεν οι.

Ὠδή θ΄. Ὁ Εἱρμός.

*Ἅπας γηγενής* σκιρτάτω τῷ πνεύματι* λαμπαδουχούμενος·* πανη-γυριζέτω δέ* ἀύλων νόων φύσις, γεραίρουσα* τήν ἱεράν πανήγυριν τῆς Θεομήτορος* καί βοάτω·* χαίροις, παμμακάριστε* Θεοτόκε Ἁγνή, Ἀειπά-ρθενε.*

Στήλην ἐμφανῆ* τῆς Σῆς ἀγαθότητος ἡμῖν ἐπέδειξας* καί λαμπρὸν ἐχέγγυον* τῆς πρός ἡμᾶς Σου εὐνοίας Δέσποινα,* τήν ἱεράν Εἰκόνα Σου καί χαριτόβρυτον* ἣν ὁρῶντες καί κατασπαζόμενοι* μυστικῶς τῷ νοΐ λαμπρυνόμεθα.

Μέγαν θησαυρόν* καί θεῖον διάδημα κλεινή Πετρούπολις* καί ἡ Μόσχα κέκτηνται* τάς Σάς εἰκόνας, σεπτή Καζάνσκαγια,* πρός ἅς ταχέως σπεύδουσι, τῇ προστασίᾳ Σου,* ἐν κινδύνων ὥρᾳ καί βοῶσι Σοι·* χαῖρε Κόρη,* ἡμῶν ἀγαλλίαμα.

Δόξα.

Ἴδε εὐμενῶς* ἱλέῳ Σου ὄμματι, Παντοβασίλισσα,* χώραν περιού-σιον* ἣν ἠρετίσω κληρονομίαν Σου* καί ἱερὸν ἁγίασμα τέμενος τοῦτο Σου* δεῖξον Κόρη, ἐν ᾧ ἐθησαύρισας,* ὥσπερ πλοῦτον Μελᾶ τήν Εἰκό-να Σου.

Καί νῦν.

Ὑετοῦ ἡμῖν* τῆς Σῆς ἀγαθότητος σταγόνας ἄνωθεν,* ὄμβρισον Παντάνασσα,* νεφέλη ὡς ὑπάρχουσα ἔμψυχος,* καί τῶν παθῶν τούς ἄνθρακας ἡμῶν κατάσβεσον,* εὐφροσύνην καί τήν ἀγαλλίασιν* τήν Σῆς χάριτος πᾶσι βραβεύουσα.

Τῆς Ὁσίας. Εἱρμός ὁ αὐτός.

Νέουσι πιστοί* μετά σπουδῆς προστρέχοντες* σέ εὐλαβούμενοι,* κύπτουσι δέ σώματος* γόνατα αἰτούμενοι τήν μεσιτείαν σου* πρός τόν Δεσπότην φιλάνθρωπον* καί βοῶσι·* χαίροις θεοδόξαστε* Ἀλεξάνδρα, Ντιβίγιεβο ἔρεισμα.

Ἴον οὐρανοῦ* καί Γυναικῶν Ὁσίων τε* τό ἐγκαλλώπισμα,* πέλεις Ἀλεξάνδρα νῦν·* διό τήν δέησιν ἡμῶν προσδέχου, ἄνωθεν* δ’ ἡμῖν ἐξαίτει τήν λύτρωσιν* τοῖς βοῶσι·* χαίροις Μῆτερ ἔνδοξε,* Παραδείσου ἁγίου ἡ ἔνοικος.

Δόξα.

Οἱ πόθῳ τῇ σεπτῇ* Μονῇ τοῦ Ντιβίγιεβο* νῦν προσερχόμενοι* κύπτομεν τά γόνατα* πρό τῶν

λειψάνων τῆς Ἀλεξάνδρας καί* τόν Θεόν ἱκετεύομεν* καί βοῶμεν* πάσης ἀνάγκης ῥυσθείημεν* ταῖς πρεσβείαις, Χριστέ, τῆς Ὁσίας Σου.

Καί νῦν. Θεοτοκίον.

Ὑπέρτερον, Ἁγνή,* τόν νοῦν μου τόν βέβηλον* δεῖξον, Καζάν-σκαγια,* τῆς κρατούσης αὐτόν* ἐμπαθοῦς καί ὑλώδους συγχύσεως* καί τοῦτον πλήρωσον,* ὡς ἀγαθή,* τῆς Σοῦ Υἱοῦ ἀγαθότητος* καί οὐρανίας καί θείας φρονήσεως.

Ἐξαποστειλάρια.

Τῆς Ὁσίας. Ἦχος γ΄. Ὁ οὐρανόν ἐν τοῖς ἄστροις.

Τῆς Ἀλεξάνδρας τήν μνήμην,* τῆς θεοφόρου νῦν Μητρός,* Ντιβί-γιεβο ἱδρυτρίας,* δεῦτε τιμήσωμεν πιστοί* καί προσκυνήσωμεν πίστει* αὐτῆς μυρίπνοον δέμας.

Τῆς Θεοτόκου.

Τήν Σήν Εἰκόνα, Παρθένε,* ἐν μέσῳ ἔχοντες ἡμῶν,* τήν τοῦ Καζάν, Θεοτόκε,* τήν εὐλογίαν ἀπό Σοῦ* καρπούμεθα ταῖς πρεσβείαις* πάντων Υἱοῦ Σου τῶν φίλων.

Εἰς τούς Αἵνους ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προ-σόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Μονή Ντιβίγιεβο, Μῆτερ,* χορεύει σήμερον,* τῇ εὐκλεῇ σου μνήμῃ,* θεόφρον Ἀλεξάνδρα,* καί μέλπει σούς ἀγώνας τούς ἱερούς,*πᾶσα πιστῶ ν ἡ ὁμήγυρις,*δι'ὧν καθεῖλες τό θράσος τό τοῦ ἐ χθροῦ* καί Χριστόν λαμπρῶς ἐδόξασας.

Τῆς σῆς ἀσκήσεως ἄθλοις* ἀνδραγαθείσασα,* ἀξίως κατετά-γης* εἰς χορόν τῶν Ὁσίων* καί Ἐλεημόνων,*ἔνθα χαρᾶς* τῆς ἀλήκτου ἀπολαύουσα ,* Μῆτερ Ὁσία, αἰτοῦμεν* πάντων ἡμῶν* τῶν τιμώντων σε μνημόν ευε.

Τῶν σῶν λειψάνων τήν θήκην* τήν μυροπρόβλυτον,* τιμῶντες, Ἀλεξάνδρα,* ἐν Ντιβίγιεβο, πάντες* λαμβάνομεν τήν χάριν τήν ἐξ αὐτῆς,* ὡς ποταμόν ἐκπηγάζουσαν,* δι' ἧς τοῦ βίου παρόντος τά ἀλγηνά* τῇ πρεσβείᾳ σου ἐκφεύγομεν.

Ἡμᾶς τοῦ πόθῳ,Ὁσία,* τούς νῦν τιμῶντας σε,* σκέπε καί φρούρει, Μῆτερ,* πειρασμῶν καί κινδύνων*ἀπάλλαξον ἐν τάχει* καί ἀρετῶν* ἐργαστήριον τίμιον* ἡμᾶς ἀνάδειξον,* ἵνα τό τοῦ Χριστοῦ* ἐν ἡμῖν τιμᾶται ὄνομα.

Δόξα. Ἦχος πλ. α'.

Ἀσκητικῶς ἀγωνισαμένη*τοῦ ἀλάστορος καθεῖλε ς τό φρύαγμα,* διά τῆς ἄνωθεν δυνάμεως* τῆς τοῦ Πνεύματος, Ἀλεξάνδρα θεοπόθητε.* Ἀπτόητον γάρ τό φρόνημα*ἐν τῷ καιρῷ τῷ τῶν ἀ

γώνων ἐπεδείξω,*κελλίου προκρίνας εὐαρεστωτέραν Θεῷ τήν πτωχείαν* ἤ πλούτου,ῥέοντος τήν εὐπρέ πειαν.*Διό ὁσιότητος ἐδέχθης στέφανον* καί τῆς α ἰωνίου ἠξίωσαι δόξης* καί πρεσβεύεις ὑπέρ τῶν τ ιμώντων σε.

Καί νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε,* Θεοτόκε Παρθένε,* καί δοξάζομέν Σε* οἱ πιστοί κατά χρέος,* τήν πόλιν τήν ἄσειστον,* τό τεῖχος τό ἄρρηκτον,* τήν ἀρραγῆ προστασίαν* καί καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

Μεγαλυνάριον.

Χαίροις τῶν Ὁσίων ἡ καλλονή,* Ἀλεξάνδρα Μῆτερ,* τοῦ Ντιβί-γιεβο στολισμός·* χαίροις Ὀρθοδόξου πληρώματος προστάτις,* Ῥωσίας δέ ἁπάσης* εὐχαῖς σου πρόμαχος.

Στίχοι.

*Δέχου τόν ὕμνον τοῦτον, Ἀλεξάνδρα Μῆτερ,*

*τῆς Σεραφειμικῆς Μονῆς ἡ μακαρία*

*ἱδρύτρια, ὅν ἐκ ψυχῆς Ἀντώνιος προσφέρει.*

[1] Ἐκ τῶν πολλῶν τῆς Θεοτόκου Κανόνων, ἐπελέγη ἐκεῖνος τῆς Εὑρέσεως τῆς Εἰκόνος τοῦ Καζάν, διότι ἡ Ὁσία τό πρῶτον ἠσκήθη εἰς κελλίον πλησίον προϋπάρχοντος ναΐσκου, ἀφιερωμένου εἰς αὐτήν.